quæcunque de eis aliter quidam existimarunt, & si quid vltra hæc prætermissum sit. Est autem operęprętium aliquid facultatis habere volentibus, bene dubitare. Nam posterior facultas, solutio eorum est, quæ antè dubitata fuerunt. Soluere autem non est, cùm nodus ignoretur: sed intellectus hæsitatio manifestũ hoc de re facit. Quatenus enim dubitat, eatenus simile quiddam ligatis patitur. vtroque namque modo impossibile est ad vlteriora procedere. Quare omnes primò difficultates speculari par est, & horũ gratia, & propterea quòd illi, qui quærunt, nisi primò dubitent, similes illis sunt, qui quònam ire oporteat, ignorant: & adhæc neque vtrum inuenerint quod quæritur, an non cognoscere possunt. Finis etenim his quidem non est manifestus: illi autem, qui antea dubitauerit, patescit. Item melius se habere necesse est illum ad iudicandum, qui tanquam aduersarios, omnes vtrinque rationes oppositas audiat. Est autem prima dubitatio de iis, quæ in procœmio quoque dubitauimus, vtrum vnius, aut multarum scientiarum sit causas speculari. Et vtrum prima substantiæ principia, solùm huius sit scientiæ considerare, an etiam de principiis, ex quibus omnes demonstrant: vt puta, vtrum contingit vnum & idem simul affirmare, & negare, an non, & de cæteris huiusmodi. Quòd si circa substantiam est, vtrum vna, an plures circa omnes sint: & si plures, vtrum omnes inter se affines, an aliquas earum sapientias, nonnullas aliquid aliud appellandum sit. Et hoc etiam ipsum necessarium est, vt quæratur, vtrum sensibiles substantias esse duntaxat dicendum sit, an præter has etiam alias. Et vtrum vnum an plura substantiarum genera sint: veluti qui species, quique mathematica harum, & sensibilium media faciunt. Et de his igitur (vt dicimus) considerandum est, & vtrum circa substantias solùm speculatio sit, an etiam circa ea, quæ per se substantiis accidunt. Et adhæc de eodem & diuerso, simili & dissimili, & contrarietate, & de priori & posteriori, & cæteris cunctis huiuscemodi, de quibus dialectici considerare conantur, ex probabilibus solùm perscrutantes, cuius est de his omnibus speculari. Item quæcunque per se, eisdem ipsis accidunt, & non solùm quid horum vnumquodque est, sed etiam vtrũ, vnum

A τὰ δ᾽ ἐστὶν ὅσα περὶ αὐτῶν ἄλλως ὑπειλήφασί τινες κἂν εἴ τι χωρὶς τούτων τυγχάνοι πρότερον παρεωραμένον. ἔστι δὲ τοῖς εὐπορῆσαι βουλομένοις προὔργου τὸ διαπορῆσαι καλῶς. ἡ γὰρ ὕστερον εὐπορία λύσις τῶν πρότερον ἀπορουμένων ἐστί. λύειν δ᾽ οὐκ ἔστιν ἀγνοοῦντα τὸν δεσμόν· ἀλλ᾽ ἡ τῆς διανοίας ἀπορία δηλοῖ τοῦτο περὶ τοῦ πράγματος. ᾗ γὰρ ἀπορεῖ, ταύτῃ παραπλήσιον πέπονθε τοῖς δεδεμένοις. B ἀδύνατον γὰρ ἀμφοτέρως προελθεῖν εἰς τὸ ἔμπροσθεν. διὸ δεῖ τὰς δυσχερείας τεθεωρηκέναι πάσας πρότερον, τούτων τε χάριν καὶ διὰ τὸ τοὺς ζητοῦντας ἄνευ τοῦ διαπορῆσαι πρῶτον, ὁμοίους εἶναι τοῖς ποῖ δεῖ βαδίζειν ἀγνοοῦσι· καὶ πρὸς τούτοις, οὐδ᾽ εἴ ποτε τὸ ζητούμενον εὕρηκεν ἢ μὴ, γινώσκειν. τὸ γὰρ τέλος τούτῳ μὲν οὐ δῆλον, τῷ δὲ καλῶς προηπορηκότι δῆλον. ἔτι δὲ βέλτιον ἀνάγκη ἔχειν πρὸς τὸ κρίναι, C τὸν ὥσπερ ἀντιδίκων καὶ τῶν ἀμφισβητούντων λόγων ἀκηκοότα πάντων. ἔστι δ᾽ ἀπορία, πρώτη μὲν περὶ ὧν ἐν τοῖς πεφροιμιασμένοις διηπορήσαμεν, πότερον μιᾶς ἢ πολλῶν ἐστὶν ἐπιστημῶν θεωρῆσαι τὰς αἰτίας, καὶ πότερον τὰς τῆς οὐσίας ἀρχὰς τὰς πρώτας ἐστὶ τῆς ἐπιστήμης ἰδεῖν μόνον, ἢ καὶ περὶ τῶν ἀρχῶν ἐξ ὧν δεικνύουσιν ἅπαντες· D οἷον πότερον ἐνδέχεται ταὐτὸ καὶ ἓν ἅμα φάναι καὶ ἀποφάναι, ἢ οὔ, καὶ περὶ τῶν ἄλλων τῶν τοιούτων. εἴτ᾽ ἔστι περὶ τὴν οὐσίαν πότερον μία περὶ πάσας, ἢ πλείονές εἰσι. κἂν εἰ πλείονες, πότερον ἅπασαι συγγενεῖς, ἢ τὰς μὲν σοφίας, τὰς δὲ ἄλλό τι λεκτέον αὐτῶν. καὶ τοῦτο δ᾽ αὐτὸ τῶν ἀναγκαίων ἐστὶ ζητῆσαι, πότερον τὰς αἰσθητὰς οὐσίας εἶναι μόνον φατέον, ἢ καὶ E παρὰ ταύτας ἄλλας· καὶ πότερον μοναχῶς, ἢ πλείονα γένη τῶν οὐσιῶν· οἷον οἱ ποιοῦντες τά τε εἴδη, καὶ τὰ μαθηματικὰ, μεταξὺ τούτων τε καὶ τῶν αἰσθητῶν. περί τε τούτων οὖν, καθάπερ φαμὲν, ἐπισκεπτέον, καὶ πότερον περὶ τὰς οὐσίας ἡ θεωρία μόνον ἐστὶν, ἢ καὶ περὶ τὰ συμβεβηκότα καθ᾽ αὑτὰ ταῖς οὐσίαις. πρὸς δὲ τούτοις, περὶ ταὐτοῦ καὶ ἑτέρου, καὶ ὁμοίου, καὶ ἀνομοίου καὶ ταυτότητος, καὶ ἐναντιότη- F τος καὶ περὶ προτέρου καὶ ὑστέρου, καὶ τῶν ἄλλων ἁπάντων τῶν τοιούτων περὶ ὅσων οἱ διαλεκτικοὶ πειρῶνται σκοπεῖν, ἐκ τῶν ἐνδόξων μόνον ποιούμενοι τὴν σκέψιν, τίνος ἐστὶ θεωρῆσαι περὶ πάντων. ἔτι δὲ τούτοις αὐτοῖς ὅσα καθ᾽ αὑτὰ συμβέβηκε· καὶ μὴ μόνον τί ἐστι τούτων ἕκαστον, ἀλλὰ καὶ εἰ ἓν ἑνὶ ἐναντίον;